

# Επέτειος 800 ετών από την κοίμηση του αγ. Μιχαὴλ του Χωνιάτου Μητροπολίτου Αθηνών 1222 – 2022

11

Φ

Επιμέλεια
αρχιμ. Μιχαὴλ Χαρ. Σταθάκης

## «Εἰς τὴν Τριήμερον καὶ Ζωαρχικὴν Ταφὴν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ»

Το 1882 εκδίδεται από το τυπογραφείο του Φιλαδελφέως στην Αθήνα ένα βιβλίο με τον τίτλο «Μιχαὴλ Ἀκομινάτου τοῦ Χωνιάτου καὶ Γεωργίου Βούρτζου Μητροπολιτῶν Ἀθηνῶν λόγοι νῦν πρῶτον ἐκδιδόμενοι ἐκ χειρογράφου τῆς ἐν Χάλκῃ Μονῆς τῆς Θεοτόκου». Ας σημειωθεί για την ιστορία ότι η διάθεση του βιβλίου γινόταν στην Αθήνα από κάποιον Ν. Β. Νάκη και στην Κωνσταντινούπολη από τους αδελφούς Δεπάστα.

Την έκδοση επιμελήθηκε ο Βασίλειος Γεωργιάδης. Στα προλεγόμενα σημειώνει ότι στην Μονή της Θεοτόκου στη Χάλκη, εκεί που έχει ιδρυθεί και ελληνική εμπορική σχολή, βρίσκονται θησαυρισμένα ικανά ελληνικά χειρόγραφα ποικίλης αξίας και ύλης, τα περισσότερα εκ των οποίων είναι εκκλησιαστικά. Μεταξύ αυτών βρίσκεται και ένα Τριώδιο, χρονολογούμενο στην 14η εκατονταετηρίδα και το οποίο έχει στο μέσον εκκλησιαστικούς λόγους. Από αυτούς οι πρώτοι, όπως χαρακτηριστικά αναφέρει, και μόνοι άξιοι προσοχής είναι οι δύο λόγοι οι οποίοι για πρώτη φορά δημοσιεύονται από εκείνον. Η αξία του χειρογράφου αυτού Τριωδίου δεν είναι μεγάλη, διότι

περιέχει εκκλησιαστική υμνογραφία η οποία εν πολλοίς είναι γνωστή και από άλλα και αρχαιότερα μάλιστα χειρόγραφα. Η ιδιαίτερη αξία του όμως έγκειται στους λόγους τους οποίους φιλοξενεί και μέχρι τότε δεν είχαν ξανά δημοσιευθεί. Σημαντικός είναι και ο τρόπος γραφής του χειρογράφου των λόγων ετούτων, οι οποίοι είναι γραμμένοι με ιδιαίτερη επιμέλεια και ευκρίνεια. Αυτό σημαίνει ότι μπορεί το εν λόγω χειρόγραφο να συμπεριληφθεί μεταξύ των καλών χειρογράφων, όσα δηλαδή χειρόγραφα γνώρισαν παλαιά έργα εγνωσμένης φιλολογικής αξίας.


ΜΙΧΑΗΛ ΑΚΟΜΙΝΑΤΟΥ
ΤΟΥ ΧΩΝΙΑΤΟΥ
ΚΑΙ
ΓΕΩΡΓΙΟΥ ΒΟΥΡΤΖΟΥ
ΜΗΤΡΟΠΟΛΙΤΩΝ ΑΘΗΝΩΝ

ΛΟΓΟΙ

ΝΥΝ ΠΡΩΤΟΝ ΕΚΔΙΔΟΜΕΝΟΙ
ΕΚ ΧΕΙΡΟΓΡΑΦΟΥ ΤΗΣ ΕΝ ΧΑΛΚΗι ΜΟΝΗΣ
ΤΗΣ ΘΕΟΤΟΚΟΥ
ΥΠΟ
ΒΑΣΙΛΕΙΟΥ ΓΕΩΡΓΙΑΔΟΥ.

ΕΝ ΑΘΗΝΑΙΣ,
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Χ. Ν. ΦΙΛΑΔΕΛΦΕΩΣ.
1882.

Ο πρώτος λόγος επιγραφόμενος ως «Εἰς τὴν Τριήμερον καὶ Ζωαρχικὴν Ταφὴν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ», του αγίου Μιχαήλ, συμπληρώνει την συλλογή των λόγων του σπουδαίου εκείνου εκκλησιαστικού ανδρός του 12ου αιώνος. Ο δεύτερος λόγος που επιγράφεται «Τοῦ ἁγιωτάτου Μητροπολίτου Ἀθηνῶν κυροῦ Γεωργίου Βούρτζου, λόγος εἰς τὴν ἁγίαν καὶ μεγάλην Πέμπτην» για πρώτη φορά ξεκαθαρίζει η υπόθεση περί της υπάρξεως ή μη του συγκεκριμένου προσώπου καθώς έχει αναπτυχθεί μεγάλη φιλολογική και ιστορική έρευνα για το θέμα του Μητροπολίτου Γεωργίου, ο οποίος κατά πάσα πιθανότητα ήταν ο άμεσος προκάτοχος του αγίου Μιχαήλ και ό, τι γνωρίζαμε για εκείνον ήταν από μία επιγραφή χαραγμένη σε κίονα του Παρθενώνα απομνημονεύει το Μητροπολίτη Γεωργίου και την ημέρα θανάτου του.

Επίσης για μία ακόμα φορά γίνεται αναφορά στην ευρυμάθεια και στην εγκρατή γνώση όχι μόνο των θεολογικών αλλά και των φιλολογικών ελληνικών πηγών από τον άγιο Μιχαήλ τόσο στα πεζά κείμενά του όσο και στα ποιήματα, ενώ αναγνωρίζεται για μία ακόμη φορά η δυνατότητά του να χρησιμοποιεί ταυτοχρόνως τη θύραθεν και την θεολογική σκέψη.

Με τρόπο απαράμιλλο στο εν λόγω κείμενό του ο άγιος Μιχαήλ έχει κάνει χρήση φράσεων που συναντάμε στον Όμηρο, τον Πίνδαρο, τον Γρηγόριο τον Ναζιανζηνό και σε πολλούς άλλους. Ας σημειωθεί ότι ο Χωνιάτης κάνει και ιδιαίτερη αναφορά στα περί της υλικής προετοιμασίας των Αθηναίων για την εορτή του Πάσχα. Για μία ακόμα φορά κάνει χρήση σπανίων λέξεων ή και μοναδικών, τις οποίες εκείνος δημιουργεί για να εξυπηρετήσει τις ανάγκες της σκέψης του.

Εντυπωσιάζεται ο κάθε αναγνώστης αντιλαμβανόμενος ότι ο λόγος του Χωνιάτη αποτελείται από δεκαπέντε μακροσκελείς παραγράφους και διανθίζεται από διακόσια πενήντα και δύο χωρία της Αγίας Γραφής, τα οποία και αντλεί από το βιβλίο της Γενέσεως, της Εξόδου, το Λευιτικό, τους Αριθμούς, το Δευτερονόμιο, τον Ιησού του Ναυή, Βασιλειών, Ιώβ, Ψαλμούς, Άσμα Ασμάτων, από τον προφήτη Ωσηέ, τον Αμώς, τον Ναούμ, τον Αβακούμ, τον Ζαχαρία, τον Μαλαχία, τον Ησαΐα, Ιερεμία, τον Βαρούχ, τον Δανιήλ καθώς και από τα περισσότερα βιβλία της Καινής Διαθήκης.

Στο παρόν αφιέρωμα απλά παραθέτουμε το εκτενές πρωτότυπο κείμενο και σύντομα καιρό θα σας παρουσιάσουμε και την ελεύθερη απόδοση του κειμένου στα νέα ελληνικά.


ΤΟΥ
ΑΓΙΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΑΘΗΝΩΝ
ΚΥΡΟΥ ΓΕΩΡΓΙΟΥ ΒΟΥΡΤΖΟΥ
ΛΟΓΟΣ
ΕΙΣ ΤΗΝ
ΑΓΙΑΝ ΚΑΙ ΜΕΓΑΛΗΝ ΠΕΜΠΤΗΝ



# ΤΡΙΗΜΕΡΟΝ ΚΑΙ ΖΩΑΡΧΙΚΗΝ ΤΑΦΗΝ

## ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ

# ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

## ΜΙΧΑΗΛ

### ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΑΘΗΝΩΝ

## ΤΟΥ ΧΩΝΙΑΤΟΥ.

**ΕΠΙΓΡΑΦΗ.** Οὕτως ἔχει τὴν ἐπιγραφὴν τὸ χειρόγραφον, παραλειπομένης τῆς λέξεως, λόγος, ὡς καὶ ἐν ἄλλοις χειρογράφοις συμβαίνει, καὶ προστιθεμένων ἐν τέλει τῶν λέξεων, εὐλόγησον Δέσποτα, λίαν συνήθων ἐν τοῖς Πανηγυρικοῖς διὰ τὰς ἐπ' ἐκκλησίας ἀναγνώσεις.

1. Πάλιν ἐν τῇ σκοτίᾳ φαίνει τὸ φῶς· πάλιν ἡ σκοτία διώκει μὲν αὐτό, οὐ καταλαμβάνει δέ. Χθὲς Ἰησοῦς Χριστὸς ἐν τῷ κόσμῳ μέγα φῶς ἔλαμπε, καὶ τελχὶν πειραστὴς καὶ λαὸς βάσκανος ἀντιφράττειν πειρώμενος οὐκ εἶχον ὅλως ἐπιπροσθεῖν. Σήμερον εἰς ᾅδου καταδὺς ὁ αὐτὸς ἐν νεκύεσι




φαίνει· ζόφος δὲ ᾅδου καὶ σκότος θανάτου οὐχ ὅπως ἐπισκοτοῦσιν, ἀλλά γε καὶ περιίστανται. Αὔριον γὰρ τριταῖος ἀνατελεῖ, πρῶτα μὲν ὑπέργειος, εἶθ' ὑπερουράνιος ἀναβαίνων· ἐκεῖθεν γὰρ ἠγαλλιάσατο δραμεῖν ὁδὸν αὐτοῦ, κἀκεῖσε πάλιν ἀναδραμεῖται τὰ πάντα πεπληρωκὼς φωτός, παρ' ᾧ οὐκ ἔστι τροπῆς ἀποσκίασμα, κἂν οἱ τῇ σκιᾷ τῶν ἐπουρανίων λατρεύοντες πειρῶνται, ὅσα καὶ μοδίῳ λύχνον, ἐπικρύπτειν τῷ τάφῳ τὸν τοσοῦτον ἥλιον. « Ἐν αὐτῷ γάρ φησι ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων.» Ἐντεῦθεν ἐγὼ διπλῷ μερίζομαι πάθει, μέσος κατηφίας ἑστὼς καὶ χαρᾶς· κατηφίας διὰ τὸν αὐλιζόμενον ἑσπέρας ἄρτι κλαυθμόν, χαρᾶς δὲ διὰ τὴν αὔριον ἐπὶ τῇ ἀναστάσει ἐς τὸ πρωῒ ἀγαλλίασιν. Ἄχθομαι μαινομένων ἔτι τῶν Ἰουδαίων καὶ πλάνον ὀνομαζόντων τὸν ἀρχηγὸν τῆς ζωῆς καὶ σφραγῖσι καὶ κουστωδίᾳ κατασφαλιζομένων τὸν τάφον. Χαίρω βλέπων ἀνιστάμενον τὸν Σωτῆρά μου καὶ τὰ τῆς συκοφαντίας σοφίσματα διαλύοντα. Ζηλῶ κατὰ τῶν ἐπεμβαινόντων κειμένῳ τῷ Κυρίῳ μου. Ὑμνῶ τῆς ἀπείρου μακροθυμίας τὸν ἀνεξίκακον. Τίς οὐ θρηνήσει τοὺς ἀπεριτμήτους τῇ καρδίᾳ; Τίς οὐ μακαρίσει τοὺς ἐν κρυπτῷ Ἰουδαίους, εἰς πτῶσιν μὲν ἐκείνων ἡμῶν δὲ ἀνάστασιν κειμένου Χριστοῦ; Οἱ μὲν γὰρ ὡς λίθῳ



προσκόμματος ἀπιστοῦντες προσπταίουσιν, ἡμεῖς δὲ ὡς ἀκρογωνιαίῳ πεπιστευκότες ἐποικοδομούμεθα. Ἐκεῖνοι τὸν ἀμνὸν ἔσφαξαν, ἡμεῖς δὲ τῷ αἵματι τοῦ ἀμνοῦ κεχρίσμεθα· καὶ παρὰ τοῦτο ἐκείνων ὀλοθρευομένων ὡς Κυριοκτόνων, ἡμεῖς ὡς ἐσφραγισμένοι σωζόμεθα. Οἰμωζόντων τοίνυν οἱ θεομάχοι, ἡμεῖς δὲ τῷ Σωτῆρι τὸν ἐξόδιον ᾄδομεν, ἐφ' οἷς καὶ τὴν πάμφωτον ταύτην τῆς ἱερᾶς νυκτὸς τελετὴν ἄγομεν καὶ πάντες τῷ ὑπὲρ παντὸς γευσαμένῳ θανάτου ἐπιτύμβιόν τινα προσφέρομεν κόσμον, οἱ μὲν δακρύων χοήν, οἱ δὲ οἰμωγήν, οἱ δὲ πλεκτὸν ἐξ ἀκηράτων ᾀσμάτων στέφανον, οἱ δὲ τὸ συννεκροῦσθαι νεκρωθέντι καὶ θαπτομένῳ συνθάπτεσθαι καὶ κατιόντι ἐς ᾅδου συγκαταβαίνειν καὶ τῶν ἐκεῖσε μυστηρίων τοὺς λόγους φωτίζεσθαι, ὡς ἕκαστος τοῦ δεσποτικοῦ θανάτου καὶ τῆς ταφῆς μετασχών, κοινωνήσῃ καὶ τῆς ἐγέρσεως.

2. Ἐγὼ δέ, ἀλλ' οὐδὲ αὐτὸς ἀσύμβολος ἔσομαι, ὡς μὴ τῷ κοινῷ ἐράνῳ συνεισενεγκεῖν τι τῶν ἐπιταφίων, καὶ ταῦτα τῆς παρούσης τελεταρχῶν πανηγύρεως. Πειράσομαι δέ, εἰ καὶ μὴ χρῆμά τι πολύτιμον οἷός τέ εἰμι τῷ Ζωοδότῃ κειμένῳ προσενεγκεῖν, ἀλλ' οὖν ἀναθεῖναι τὸ κατὰ δύναμιν· ἀνέξεται γὰρ οἶδ' ὅτι καὶ τῆς εὐτελείας τῶν παρ' ἡμῶν προσενεχθησομένων ὁ μὴ μόνον τὰ αἴσχιστα παθεῖν ἀνασχόμενος, ἀλλὰ καὶ ὀθονίῳ καὶ μίγματι ἀλόης καὶ σμύρνης φιλοφρονηθεὶς ὥςπερ τισὶ φιλοτίμοις ἐνταφιασμοῦ δεξιώσεσιν. Οὔκουν ὀκνητέον τὸν ἡμῖν δυνατὸν καὶ πρέποντα τῷ καιρῷ κόσμον, μιμητέον δὲ τοὺς μακαρίους Ἰωσὴφ καὶ Νικόδημον

καὶ προσοιστέον τῷ Λόγῳ λόγον, οὐ πολλοῦ μὲν τιμώμενον, οἷα δέ τινα σμύρναν εὐώδη καὶ καθαρὰν σινδόνα προσδεχθησόμενον, τὸ μὲν ὡς τῆς ὀδμῆς ἀποπνέοντα τοῦ Γραφικοῦ ἀγροῦ τοῦ πλήρους, ὃν εὐλόγησε Κύριος, καὶ τῆς ἐν Χριστῷ προσαπόζοντα πίστεως ἥδιον, καὶ τοῦτό γε τὸ μέρος οὐδὲν ἐκείνης τῆς πολυτιμήτου νάρδου καὶ πιστικῆς ἀτιμότερον· τὸ δὲ ὡς ἐξυφασμένον ὥσπερ τινὶ κερκίδι τῇ καθ' ἡμᾶς γλώττῃ στήμονι προφητικῶν θεσπισμάτων κρόκην εὐαγγελικῶν κηρυγμάτων συνδιαπλεκούσῃ καὶ ἄλλο τοῦτο ἐντάφιον ἱστουργούσῃ Χριστοῦ καθαρὸν ὀθόνιον, παρ' ὅσον οὐκ ἀσαφείας μελανωθήσεται στήμοσιν, εὐκρινείᾳ δὲ μᾶλλον ἀκραιφνεῖ διαλευκανθήσεται. Παντὸς γὰρ σκότους ὑποχωροῦντος τῷ μεγάλῳ φωτί, χρεὼν μηδὲ ἑόρτιον λόγον ἀσαφείᾳ ὑπομελαίνεσθαι. Τί γὰρ ὑπόζοφον περιλέλειπται, ὃ μὴ τῷ Ἡλίῳ τῆς δικαιοσύνης διαπεφώτισται; Οὐ νομικὴ πᾶσα σκιὰ παρὰ τῆς ἀληθινῆς καταυγάζεται χάριτος; Οὐ πλάνης εἰδωλικῆς παρῴχετο νύξ; Μόνος ὁ αἰώνιος καὶ ἀλαμπὴς ᾅδου σκότος ὑπελείπετο ἀφεγγής· μόνος ὁ ἐκεῖσε χῶρος ἀνήλιος, καὶ οἱ ἐν σκότει δι' αἰῶνος ἐκεῖσε καθήμενοι. Ἀλλ' ἰδοὺ καὶ τἀκεῖ περιλάμπεται· ἰδοὺ καὶ ᾅδης ὁ παλαιγενὴς καταστράπτεται, τοῦ ἀδύτου φωτὸς δεδυκότος ἐκεῖσε. Καὶ τίς παραστήσει λόγος τῶν ὑποταρταρίων πνευμάτων τὸ σκίρτημα καὶ ὅπως συνέρρευσε περὶ τὰς δεσποτικὰς ἀκτῖνας ἅπας δικαίων χορός; Ἔνθεν τὰ περὶ τὸν θεοπάτορα Δαυὶδ προφητικὰ σμήνη· ἐκεῖθεν ὁ περὶ τὸν πατριάρχην Ἀβραὰμ πατρικὸς θίασος· ἑτέρωθεν αὖ οἱ τοῦ γένους προπάτορες οὐκέτι πάλιν ἐκδειματούμενοι, οὐδὲ κρυπτόμενοι ἐν ᾅδῃ περιπατοῦντος Θεοῦ, ἀλλὰ θαρσοῦντες ὡς ἵλεῳ προσιόντες τῷ καλοῦντι πάλιν φιλοστορ-



γότερον· Ἀδάμ, ποῦ εἶ; πόθεν ποῖ κατῆλθες, κἀμὲ συγκατελθεῖν προσεπεσπάσω δι᾽ ἔλεον; Δεῦρο θᾶττον ἀπὸ γῆς ἐπανέρχου ἐξεγερθείς, εἰς ἣν ἀπῆλθες πεσών· ἐκτίναξαι τὴν φθοράν, ἀφθαρσίαν ἐπένδυσαι. Ἠράσθης ἰσοθείας, ἰσάνθρωπος γίνομαι· ἁρπάσαι τὰ κατ᾽ ἐμὲ μὴ δυνηθεὶς προσαπεβάλου καὶ τὰ σά· ἐγὼ τὰ σὰ προσλαβόμενος, τἀμά σοι χαρίζομαι. Ζωώθητι ἐπεὶ τέθνηκα· θεώθητι, διὰ τοῦτο γὰρ ἐνηνθρώπισμαι· δεῦρο εἰς οὐρανούς, ἤπερ ἐγὼ εἰς τὰ κατώτατα μέρη τῆς γῆς. Εἶτα καὶ τοῖς περιεστηκόσι τῶν ψυχῶν λοιποῖς ἔθνεσιν, Ἐγώ, φησιν, ὦ ᾅδου δέσμιοι, δεύτερος Ἀδὰμ ἥκω, τὸν πρῶτον ἀνασωζόμενος. Εἰ τῷ παραπτώματι τοῦ πρώτου τεθνήκατε, τῷ δικαιώματι ἐμοῦ τοῦ δευτέρου ζήσεσθε. Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν· ἰδοὺ ἐγὼ ἀνοίγω τὰ μνήματα ὑμῶν καὶ ἀνάγω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν. Ἕπεσθε πρὸς ζωὴν ἡγουμένῳ· πύλας γὰρ θανάτου χαλκᾶς καὶ μοχλοὺς σιδηροῦς συνέτριψα, ᾅδης δὲ φρίξας ἐξέθανε.

3. Ταῦτα νῦν ἑορτάζομεν· τοῦτο τῶν περὶ ἡμᾶς Χριστοῦ μυστηρίων τὸ κεφάλαιον· αὕτη τῆς ἡμετέρας ἀναζωώσεως ἀρχὴ καὶ κατάστασις πρώτη. Ἐντεῦθεν μετὰ τῶν οὐρανίων καὶ ἐπιγείων καὶ τὰ ὑποχθόνια γόνυ κάμπτουσι, καὶ γλώσσαις ἁπάσαις κηρύττεται Κύριος Ἰησοῦς Χριστὸς κριτὴς ζώντων καὶ νεκρῶν. « Εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη. » Πῶς φησιν ὁ κορυφαῖος Πέτρος; « Ἵνα κριθῶσι μὲν κατ᾽ ἀνθρώπους σαρκί, ζῶσι δὲ κατὰ Θεὸν πνεύ-



ματι.» Ἐπὶ τούτοις ἡμεῖς μὲν ἀγαλλιώμεθα τῷ Κυρίῳ ἐν τρόμῳ διὰ τὸ σωτηριῶδες ἅμα καὶ φρικῶδες τοῦ μυστηρίου, οἰμώζουσι δὲ Ἰουδαῖοι, καὶ ὡς ἀεὶ τῷ ἁγίῳ Πνεύματι ἀντιπίπτοντες μαίνονται. Καὶ ὢ τῆς φιλονείκου τῶν Χριστομάχων ἀπονοίας! Κάτω μὲν ἀνοίγονται πύλαι θανάτου, ἄνω δὲ ἀσφαλίζονται οὗτοι τὸν τάφον τὸν λίθον σφραγίζοντες. Ἐκεῖ πυλωροὶ τοῦ ᾅδου τὴν ζωὴν τῶν ἁπάντων ἰδόντες πτήσσουσιν· ὧδε φρουροὶ τὸν τάφον περιστοιχίζονται, οὐ δεδοικότες μὴ γένωνται ὡσεὶ νεκροί. Ἐκεῖ Χριστὸς ἐγκαινίζει πρόσφατον καὶ ζῶσαν ὁδὸν ἀναστάσεως, καὶ πνεῦμα σὺν ὁσίοις ἡγεῖται πρὸς τὴν ζωήν· ἐνταῦθα πλάνον καλοῦσιν αὐτὸν οἱ πλανῶντες καὶ πλανώμενοι, τυφλοὶ τυφλῶν ὁδηγοί. Γενεὰ πονηρὰ καὶ μισόχριστε, ἰδοὺ ὅπερ ἐζήτεις σημεῖον ἐξ οὐρανοῦ, ἰδοὺ σημεῖον Ἰωνᾶ τοῦ προφήτου, ἰδοὺ τὸ μέγα κῆτος ὁ παμφάγος ᾅδης, καταπίνει μὲν τὴν ζωήν, οὐ καταναλίσκει δέ, ἀλλ' ἐξεμεῖ τριήμερον. Σημεῖον ζητεῖς ἐξ οὐρανοῦ; Εἶτα τί τῶν κατ' οὐρανὸν φαινομένων ἡλίου φανώτερον; Ἀτὰρ οὐχ ἑώρας χθὲς τουτονὶ σκοτιζόμενον καὶ κατασκυθρωπάζοντα διὰ τὸν τῆς δικαιοσύνης Ἥλιον ὑβριζόμενον; Ἐξ οὐρανοῦ μόνον ᾐτήσω, ὁ δὲ καὶ γῆθεν ἐπιδέδωκε, μᾶλλον δὲ ὅλην αὐτὴν γῆν ἐξ αὐτοῦ σειομένην τοῦ κέντρου καὶ τρέμουσαν. Ἀλλ' ὁ μὲν ἄψυχος τῆς ἡμέρας ὀφθαλμὸς

ἐπιμέμυκεν, ὅπως μὴ τὴν δεσποτικὴν ὕβριν ὁρῴη· γῆ δ' ἐκραδαίνετο ἀχθομένη καὶ οὐχ οἵα τε οὖσα φέρειν τὴν τοσήνδε τοῦ σταυροῦ παροινίαν· ἡ σὴ δὲ ἄρα καρδία ἡ ἀπερίτμητος καὶ στοιχείων αὐτῶν ἀπαθεστέρα ἦν καὶ σκληροτέρα πετρῶν. Πέτραι μὲν γὰρ πολλαὶ διερράγησαν, ἡ δέ γε πώρωσις ταύτης οὔτε διεσχίσθη οὔτε μὴν κατενύγη, ὡς δὲ ἀναλγὴς διαμεμένηκεν ἀτειρής, ἵνα ὡς σκεῦος κεραμεοῦν συντριβῇς τελευτῶν. Ἄγε, εἴ σοι τούτων μέλει μηδέν, τὸν γοῦν ἐραστόν σοι ὅρα ναόν, ὅπως καὶ οὗτος προσπάσχει τῷ πάσχοντι, καὶ ὡς ἄντικρυς ὀλοφυρόμενος τὸν ἑαυτοῦ πέπλον διέρρηξε, καὶ γυμνὰ προὔθηκε πᾶσι τὰ τέως ἀθέατα. Ἡ που καὶ λυχνία ἥλιον μιμουμένη ἀπέσβηκε καὶ αὐτὴ καὶ τράπεζα ἱερὰ καὶ κιβωτὸς ἀνατέτραπται τῷ κλόνῳ τοῦ παντὸς συγκυκώμενα. Ὢ τῆς μανίας! Οὐδὲ ταῦτ' ἐπιστρέφει τὸν θεομάχον ἀσεβείᾳ μεθύοντα, οὔτ' ἐγηγερμένοι νεκροὶ καὶ πολλοῖς ἐμφανιζόμενοι πείθουσι. Πῶς γὰρ τὸν Μωσέως καὶ προφητῶν οὐκ ἀκούοντα οὐκ ἂν φάνοιεν οἱ ἐγηγερμένοι οὗτοι νεκροί, εἴπερ τοῖς μιαιφόνοις ἐμφανισθεῖεν, ὥσπερ καὶ Λάζαρος ἐκινδύνευσε πρότριτα δίκην ὑποσχεῖν θανάτου, ὅτι περ ἀνεβίω ἐκ νεκρῶν ἀναστάς;

4. Οὕτως ἐκπεπολέμωται τῇ ζωῇ ὁ μωρὸς οὗτος λαὸς καὶ οὐχὶ σοφός. λαρὸν δὲ οἱ αἷμα ἀνθρώπου, ἅτε εἰσποιη-



θεὶς τῷ ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνῳ καὶ παρεισαγαγόντι τὸν θάνατον. Ταῦτ᾽ ἄρα κενὰ κατὰ Χριστοῦ μελετᾷ καὶ οὐδὲ θανόντι σπένδεται, ἐνάλλεται δὲ καὶ κειμένῳ καὶ ὀνομάζει πλάνον. Οἴμοι ! πλάνος ἐκεῖνος, ὁ ποιμαίνων τὸν Ἰσραήλ, ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ ; Πλάνος τὸ φῶς, ἡ ὁδός, ἡ ζωή, ἡ ἀλήθεια, ὁ πᾶσαν ἐξευρὼν ὁδὸν ἐπιστήμης, ὁ ποιμὴν ὁ καλὸς ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων καὶ ζητῶν τὸ πλανώμενον ; « Πάντες ὡς πρόβατα ἐπλανήθημεν, Ἠσαΐας φησίν, ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν· καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, » καὶ πλάνον ὀνομάζουσιν οἱ κατὰ τὸν Δαυὶδ ἀεὶ πλανώμενοι τῇ καρδίᾳ τὸν μαρτυρούμενον παρὰ τῶν προφητῶν, « ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. » Ὢ μιαρῶν γλωσσῶν καὶ βλασφήμων ! Ὢ θεομάχων στομάτων ! Οὐκοῦν καὶ πλάνος ἔρρων οἰχήσεται. Τί λοιπὸν δειλιᾷς τὸν οὐκέτ᾽ ὄντα ; Τί τὸ μηδὲν πεφόβησαι ; Τί κωφὴν γαῖαν τρέμεις ; Ἀλλὰ μικρὸν ἐπίσχες, ὦ μιαιφόνε, καὶ ὄψει ἐς νέωτα, ὅπως ὁ βλασφημούμενος οὗτος τῶν κάτω κευθμόνων ἀναβήσεται, κατὰ τὸν θεόληπτον Ναούμ, ἐμφυσῶν εἰς πρόσωπον μαθητῶν καὶ



πεπεδημένους ἐξάγων ἐν ἀνδρείᾳ τοὺς κατοικοῦντας ἐν τάφοις καὶ ἐν αἵματι διαθήκης ἐξαποστέλλων δεσμίους ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ. Οὗτος γάρ ἐστιν ὁ παρὰ τῷ Ἰσραὴλ σκύμνος λέοντος, ἐκ βλαστοῦ φυλῆς Ἰουδαϊκῆς ἀναβεβηκώς, ὃς ἐκοιμήθη νῦν ὡς λέων ἀναπεσὼν καὶ ὡς σκύμνος· τίς αὐτὸν ἐγερεῖ; Σκύμνος γὰρ καὶ λέων ὁ Κύριος, ὡς ἐξ ἀμφοῖν τοῖν γενοῖν βασιλεὺς Ἰσραὴλ καὶ φοβερὸς οὐ μόνον ἐγρηγορὼς καὶ ἐρευγόμενος, « λέων γὰρ ἐρεύξεται καὶ τίς οὐ φοβηθήσεται; » ἀλλὰ καὶ καθεύδων καὶ ἀτρεμῶν ἐξηρεύξατο λόγον ἀγαθόν, τὸ « μετὰ τρεῖς ἡμέρας ἐγείρομαι, » καὶ Ἰουδαῖος πεφόβηται καὶ τετάρακται δειματούμενος. Ταῦτ' ἄρα καὶ καθεύδοντα πέφρικε καὶ σφραγῖδι καὶ φρουρᾷ, ὅσα καὶ νήμασιν ἀραχνίων, λινοστατεῖ τὸν τοιοῦτον λέοντα. Δεδοίκασιν οἱ ἀπειθεῖς, ὃν ἀπεδοκίμασαν λίθον ἐκλεκτὸν ἔντιμον τεθειμένον ἐν τῇ Σιών, μὴ ἐξαναστὰς ἐπιπέσοι τοῖς ταλαιπώροις καὶ συντρίψας λικμήσειεν ὡς κονιορτὸν ἀπὸ ἅλωνος θερινῆς, ἢ τοῦ λυθέντος ἀχειροποιήτου ναοῦ ἐγερθέντος καθαιρεθήσεται ὁ χειρόκμητος, καὶ « Σιὼν ὡς ἀγρὸς ἀροτριωθήσεται καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου ἔσται εἰς ἄλσος δρυμοῦ, » καὶ παρὰ τοῦτο τοῦ μὲν τῇ ἀνεγέρσει τοῦ Σολομοντείου




ναοῦ, τοῦ δὲ τὴν μονιμότητα βούλονται, ἀγνοοῦντες ὡς οὐκ ἔσθ᾿ ὅπως ἢ τὸν λυθέντα ἀναστῆναι, ἢ τὸν ἑστῶτα μὴ λυθῆναι ἀπείρξουσιν. Οὔκουν ἀφεθήσεται λίθος ἐπὶ λίθῳ, ὃς οὐ καταλυθήσεται, ὥσπερ οὐδ᾿ ὁ λελυμένος οὑτοσὶ μελήσει μὴ οὐκ ἀναστήσεσθαι, κἂν οἱ κενὰ μελετῶντες ἀντιπράττωσιν. Οὔτε γὰρ τὸν κληρονόμον τοῦ ἀμπελῶνος ἀνελόντες ἀνεῖλον, ὡς οἴονται, οὔτε τὴν κληρονομίαν αὐτοῦ κατασχόντες εἰς τέλος κατάσχωσι, κἂν πειρῶνται κατορύττειν καὶ κρύπτειν ὑπὸ γῆν, ὃν διὰ φθόνον ἀνεῖλον καὶ οὗ τὸ αἷμα κρεῖττον παρὰ τὸ Ἄβελ πρὸς Θεὸν λαλεῖ.

5. Ὦ μῆτερ Σιὼν ἄστοργε, πῶς τὸν ἐν σοὶ γεννηθέντα ἄνθρωπον ἀπεστύγηκας, καὶ ὡς τὸν Μωσῆν ἡ τεκοῦσα πάλαι παρὰ τὸν ποταμὸν ἔθετο βαλοῦσα ἐν θίβῃ κατακεχρισμένῃ ἀσφάλτῳ, οὕτω καὶ σὺ τὸν Ἰησοῦν ἐν τάφῳ κατέκλεισας καὶ σφραγῖσι καὶ φρουρᾷ ἠσφαλίσω, ἵνα μὴ παρὰ τῶν μαθητῶν δῆθεν ὑποσυρῇ, ὡς τῇ φθορᾷ δή που καὶ οὗτος παρασυρόμενος. Ἀλλ᾿ ὅρα δειλαία, ὅπως ἡ ἐξ ἐθνῶν ἐκκλησία κατ᾿ ἐκείνην τὴν θυγατέρα Φαραὼ ἀνοίγει τὴν θίβην, εἴτουν τὸ μνῆμα καὶ τὸν Ἰησοῦν ἀναβεβηκότα ὁρᾷ, καὶ μόνον οὐχὶ κλαίοντα, οἷς τὰ καθ᾿ ἑαυτὸν ἀπαγγέλλει οὕτως· « Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. » « Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. » « Ἔθεντό με ἐν

λάκκῳ κατωτάτῳ ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.» Ταῦτα ἐκ λάρνακος τοῦ τάφου δοκοῦμεν ἀκούειν ἐκτραγῳδοῦντος τοῦ Σωτῆρος ἄρτι. Πλὴν εἰ καὶ τὰ τοιαῦτα ὀλοφύρεται νῦν διὰ τοὺς παροινοῦντας, ἀλλά γε διὰ τοὺς σωζομένους, «Χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου» ἐς νέωτα, ὅτε ταῖς μὲν γυναιξὶν ἐρεῖ, «Χαίρετε,» τοῖς δὲ μαθηταῖς, «ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς,» οἴνου πολλαχοῦ τῆς Γραφῆς προσαγορευομένου τοῦ πάθους. «Πλυνεῖ γάρ φησιν, ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ,» ὅ ἐστι τὴν σάρκα λαμπροτέραν ἐκ τοῦ παθεῖν ἐργάσεται· καί, «Ἵνα τί φασιν αἱ ἄνω δυνάμεις, ἐρυθρὰ τὰ ἱμάτιά σου, ὡς ἀπὸ πατητοῦ ληνοῦ;» καὶ Χριστὸς πρὸς αὐτάς, «ληνὸν ἐπάτησα, λέγει, μονώτατος.» Καὶ πάλιν· «τὸ ποτήριον, ὅ δέδωκέ μοι ὁ Πατήρ, οὐ μὴ πίω αὐτό;» Μή ποτε δὲ καὶ ὁ πρῶτος ἀμπέλων φυτουργὸς Νῶε τὰ κατὰ τὸ δεσποτικὸν πάθος ὑπέγραφε, πιὼν ἐκ τοῦ οἴνου καὶ μεθυσθεὶς καὶ γυμνωθεὶς ἐν τῷ οἴκῳ αὐτοῦ καὶ παρὰ τοῦ νεωτέρου υἱοῦ θεατρισθείς; Πέπωκε γὰρ ὁ Σωτὴρ πρῶτος τὸ τοῦ πάθους ποτήριον, καὶ ὡς ἀπὸ μέθης τοῦ πάθους ἐν τῷ οἴκῳ αὐτοῦ τῷ παραπικραίνοντι κεκοίμηται, καὶ γεγύμνωται παρὰ τῷ σταυρῷ, καὶ πρὸς τοῦ νεωτεριστοῦ λαοῦ θριαμβευόμενος κεκωμῴδηται. Ἀλλ᾽ εἰ καὶ νῦν μεθυσθεὶς τῷ πάθει καθεύδει ὁ τοῦ καινοῦ κόσμου γενάρχης Χριστός, καί πως ἀσχήμων τοῖς ἐπαράτοις δοκεῖ γεγυμνωμένος οὕτω καὶ μὴ ἔχων κάλλος οὐδὲ εἶδος ὁ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἀλλ᾽ αὔριον



ἐξεγερθήσεται « ὡς ὁ ὑπνῶν Κύριος, ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου, » καὶ τοὺς μὲν παροινοῦντας πατάξει καὶ ὄνειδος δώσει αἰώνιον, τοῖς δὲ περὶ τὸν εὐσχήμονα βουλευτὴν ὡς συγκαλύψασι τὴν γύμνωσιν αὐτοῦ διὰ τῶν ἐνταφιαστικῶν ὀθωνίων, εὐλογητός, ἐρεῖ, Κύριος ὁ Θεὸς Ἰωσήφ. Ὡς εἴη καὶ ἡμᾶς τῆς τοιαύτης εὐλογίας τῷ Ἀριμαθαίῳ γενέσθαι κατὰ ζῆλον ἐκείνου πονουμένους, ὡς εἴρηται, τὸ παρὸν ἐντάφιον. Μὴ γὰρ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι; Οὐ γὰρ δὴ τὴν ψυχὴν τοῦ μονογενοῦς ἐγκαταλείψει ὁ Θεὸς καὶ Πατὴρ εἰς ᾅδου, οὐδὲ δώσει τὸν ὅσιον αὐτοῦ παῖδα ἰδεῖν διαφθοράν. « Βούλεται γάρ, ὡς ἕτερος κηρύττει προφήτης, καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς, δεῖξαι αὐτῷ φῶς· » καὶ ἄλλος, « ὑγιάσει, φησίν, ἡμᾶς μετὰ δύο ἡμέρας, ἐν δὲ τῇ τρίτῃ ἡμέρᾳ ἀναστησόμεθα καὶ ζησόμεθα ἐναντίον αὐτοῦ καὶ γνωσόμεθα. » Ἐμβέβληται μὲν γὰρ εἰς τάφον, ὡς εἰς λάκκον Ἱερεμίας Ἰωσήφ τε καὶ Δανιήλ· ἀλλ' ὡς ἐκεῖνοι ζῶντες ἀνήχθησαν, οὕτω καὶ ὁ Κύριος ζῶν ἀναβήσεται.

6. Οὐ χεῖρον δὲ φιλοπονώτερον περιαθρῆσαι τὰ κατὰ τὸν Δανιήλ, ὅτι τῆς τοῦ Κυρίου ταφῆς ἐναργεστάτην εἰκόνα προβάλλονται. Ἐζήτουν τακτικοὶ καὶ σατράπαι πρόφασιν εὑρέσθαι κατὰ τοῦ Δανιὴλ βασκαίνοντες, ὅτι περισσὸν ἐν αὐτῷ πνεῦμα ἦν· ἐζήτουν καὶ κατὰ τοῦ Ἰησοῦ Φαρισαῖοι




καὶ γραμματεῖς καὶ τὸ ἱερατικὸν ἔθνος, ὅπως αὐτὸν παγιδεύσωσι, τῆς περιττῆς σοφίας καὶ τῶν καινῶν θαυμάτων διαφθονοῦντες αὐτῷ. Καὶ δὴ ὡς τὸν Δανιήλ, οἷα βασιλικὸν παραλύοντα δόγμα, ἤγαγον καὶ ἐνέβαλον εἰς τὸν λάκκον τῶν λεόντων, οὕτω καὶ τὸν Ἐμμανουήλ, ὡς πείθοντα μὴ διδόναι Καίσαρι κῆνσον, ἐνέβαλον εἰς τὸν τάφον, ἄλλον λάκκον λεόντων, ᾅδου καὶ θανάτου φημί. Καὶ τὸ χαριέστατον τῆς εἰκόνος τῇ ἀληθείᾳ ἐμφανέστατον. « Ἤνεγκάν, φησι, λίθον καὶ ἐπέθηκαν ἐπὶ τὸ στόμα τοῦ λάκκου, καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν τῷ δακτυλίῳ αὐτοῦ καὶ ἐν τῷ δακτυλίῳ τῶν μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀλλοιωθῇ πρᾶγμα ἐν τῷ Δανιήλ, » ὥσπερ ἄρα καὶ νῦν « ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας, » ὅπως μὴ ἐλθόντες νυκτὸς οἱ μαθηταὶ κλέψωσιν αὐτόν. Οὕτω καὶ ἐν οἷς πέπονθε Δανιὴλ τὰ τῆς Δεσποτικῆς ταφῆς ἐναργῶς εἰκονίζεται, καὶ οὐ τῆς ταφῆς μόνον, ἀλλ' ἤδη καὶ τῆς ἀναστάσεως. Ἀνήνεγκαν γὰρ τὸν Δανιὴλ ἐκ τοῦ λάκκου « καὶ πᾶσα, φησι, διαφθορὰ οὐχ εὑρέθη ἐν αὐτῷ· » ὡς καὶ ὁ Δεσπότης Χριστὸς ἀνῆλθεν ἐκ τοῦ τάφου ζῶν καὶ καθαρὸς ἀδιάφθορος. Οἱ μὲν διαβάλλοντες ὡς εἰς τὸν λάκκον ἐκεῖ, οὕτως ὧδε ζῶντες εἰς ᾅδου κατέδυσαν· « δώσω γάρ φησι διὰ τοῦ Ἡσαΐου τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. » Καὶ ὥσπερ μὲν ἡ φθορὰ ὡς ἡ Αἰγυπτία τὸν Ἰωσὴφ ἐπισπάσασθαι τὸν ἐν νε-



κροῖς ἐλεύθερον, ὥστε εὐνάζεσθαι παρ' αὐτῇ, ὁ δ' ἀλλὰ καταλιπὼν τὰ ἱμάτια αὐτοῦ φεύξεται τὰ τῆς διαφθορᾶς, καὶ ἐξελεύσεται τοῦ μνήματος ἔξω γυμνός. Τῇ γὰρ φθορᾷ συναπεκδύσεται καὶ αὐτὰ τὰ ἱμάτια, ὀθόνιά φημι καὶ τὸ ἐπὶ τῆς κεφαλῆς σουδάριον, ὡς τά γε ἄνωθεν ὑφαντὰ καὶ συμφυῆ ἑαυτοῦ ἱμάτια, τὴν ἔμψυχον σάρκα καὶ ἔννουν ψυχὴν οὐδὲ ἐν τῷ θανάτῳ ἀπέθετο, ἐξ οὗπερ ὁ Θεὸς Λόγος ταῦτα ἠμπέσχετο. Κατέβη γὰρ ὡς ὑετὸς ἐπὶ πόκον, τὸ φυσικὸν τοῦ προσλήμματος ἔνδυμα, καὶ ὡς ἡ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν ὑπὸ γῆν ἔσταξεν, ἐν τάφῳ μὲν μετὰ σώματος ἐν ᾅδῃ δὲ μετὰ πνεύματος. Ἀμφοῖν γὰρ ἀπ' ἀλλήλων διακριθέντοιν οὐδετέρου κεχώριστο, ὅθεν καὶ εἰς ἀνάρρουν αὖθις μετεωρισθεὶς ἥξει, μᾶλλον δὲ ἐπανήξει μετ' αὐτῶν πρώϊμος ἡμῖν καὶ ὄψιμος ὑετός. Μετὰ γὰρ τὴν ἀνάστασιν πρωῒ μὲν ταῖς γυναιξίν, ὀψίας δὲ τοῖς μαθηταῖς τῶν θυρῶν κεκλεισμένων ἐμφανισθήσεται· ὡς καὶ Δαυῒδ «σμύρνα, φησί, καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου,» ἵνα διὰ μὲν τῆς σμύρνης, ἡ τῆς σαρκὸς προφητεύοιτο νέκρωσις, τὴν δ' ἐξ ᾅδου καὶ τάφου ἀνάστασιν ὑποσημαίνοι κασίας τὸ εὔοσμον, ὡς καὶ τὸ τῆς νάρδου πληρούσης ὅλον τὸν οἶκον, ἤτοι τὸν κόσμον, τῆς κατ' αὐτὴν εὐωδίας, ἥπερ τοῖς μὲν ἀπολλυμένοις Ἰουδαίοις ὡς ἀκαθάρτοις γυψὶν ἢ κανθάροις ὀσμή ἐστι κατὰ τὸν ἀπόστολον θανάτου εἰς θάνατον, τοῖς δὲ σῳζομένοις ὀσμὴ ζωῆς εἰς ζωήν.




7. Τοιγάρτοι μαθηταὶ μὲν καὶ μαθήτριαι τοῦ τοιούτου μύρου τῆς ἀναστάσεως ὀσφραινόμενοι, εἰς ὀσμὴν τούτου δραμοῦνται, τὴν ἐξ ἀπιστίας καὶ δειλίας ἀποθέμενοι νέκρωσιν, οἱ δὲ τηροῦντες φύλακες γενήσονται ὡσεὶ νεκροί, Ἰουδαῖοι δὲ καὶ μᾶλλον τεθνήξονται, οὐ φέροντες τὴν τοιαύτην εὐοδμίαν τὰ τοῦ κόσμου περιπνέουσαν πέρατα. Μύρον γὰρ ἐκκενωθὲν ὄνομα τῷ Σωτῆρι, ὅπερ πρῶτον μὲν ἐξ οὐρανοῦ κατὰ γῆν ἀκενώτως ἔρρευσεν, εἶτα καὶ ὑπὸ γῆν ἀρρεύστως κεκένωται. Οὐ γάρ ἐστι τοῦτο τὸ μύρον, οἷον μυρεψοῦσι χεῖρες θνηταί, ὡς ἀποβάλλοιτό ποτε τὴν ὀσμὴν τῆς ζωῆς; Θεότητος γάρ ἐστιν οὐσιώδης ἀπόρροια, ἧς τοῦ μύρου ἡ ὀδμὴ ὑπὲρ πάντα τὰ ἀρώματα. Ὅθεν καὶ χυθὲν μέχρις ᾅδου, πάλιν ἐπὶ τὴν οἰκείαν πηγὴν παλλίρρουν ἀναδραμεῖται, ἐφεπομένων καὶ τῶν δραμουμένων εἰς ὀσμὴν τούτου ψυχῶν, εἰ καὶ τὸν τάφον ὡς μυροδόχον ἀλάβαστρον ἐπιπωματίζων ὁ τῆς πνευματικῆς εὐωδίας ἀνεπίστροφος Ἰουδαῖος πειρᾶται τοῦ μύρου τῆς ζωῆς θανάτου κατασκεδάζειν ὀδμήν. Ὡς γὰρ ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται, οὕτω καὶ ῥῖνας ἔχουσι καὶ οὐκ ὀσφρανθήσονται καὶ ὦτα ἔχουσι καὶ οὐκ ἀκούσονται, οὔτε τῶν λοιπῶν προφητειῶν οὔτε μὴν ἐκείνης τῆς διαπρύσιον κεκραγυίας· « Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν . . . . . . . . ὡς ἐπὶ Θεοῦ νοήσωμεν ἀνάβασιν. Πόθεν ἀναβέβηκεν ὁ τοῦ παντὸς ὑπερανεστηκὼς ἀεί; Ἢ . . . . ἐνθυμη-




θῆναι πρῶτον ὁθενοῦν κατάβασιν τοῦ Ὑψίστου, εἶθ' οὕτω καὶ αἱ ἀπόρροιαι τῆς ἀναβάσεως τοῦ Θεοῦ μου τοῦ βασιλέως ῥᾳδίως θεωρηθήσονται. Κατέβη τοίνυν ἅμε . . . . ἀπὸ τῆς ἐν μορφῇ Θεοῦ περιοπῆς, εἰς τὴν μέχρι δούλου μορφῆς κένωσιν. Εἶτα γενόμενος ὑπήκοος τῷ Πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, πάλιν εἰς ᾅδου δευτέραν καταβέβηκε βαθυτέραν κατάβασιν. Ὃν γοῦν τρόπον διπλῆν κατέβη κατάβασιν εἰς γῆν ἐξ οὐρανοῦ καὶ ἀπὸ γῆς ὑπὸ γῆν, τὸν αὐτὸν δὴ καὶ δισσὴν ἀνάβασιν ἀναβήσεται, ἐξ ᾅδου πρὸς γῆν, καὶ ἀπὸ γῆς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα ἑαυτοῦ καταλλήλως πᾶσι, καὶ διπλῆν αἰχμαλωσίαν ἀγάγῃ, θανόντας μὲν ἕλκων ἐξ ᾅδου, ζῶντας δὲ ἀπὸ γῆς· καὶ κυριεύσῃ ἀμφοτέρων, ὡς ἀμφοτέρων ἀπαρχὴ γενόμενος καὶ πρωτότοκος. Τάχα καὶ παρὰ τοῦτο λίθος τάφου σφραγίζεται τὸν ζωοδότην ἐγκυμονοῦντος, ἵνα ὡς πρότερον τῶν παρθενικῶν κλείθρων ἐσφραγισμένων προῆλθε παρθένου πρωτότοκος, οὕτω καὶ τῶν ἐπιτυμβίων σφραγίδων ἀσαλεύτων πεφυλαγμένων, λύσας τοῦ θανάτου τὰς ὠδῖνας ἐκραγῇ γαστρὸς ᾅδου πρωτότοκος ἅμα δὲ καὶ « φανεροὶ ἔσονται καθ' Ἡσαΐαν οἱ σφραγιζόμενοι τὸ νόμον τοῦ μὴ μαθεῖν. » Οἱ πάλαι τὰς κλεῖς ἄραντες καὶ οὔτε αὐτοὶ εἰσερχόμενοι καὶ τοὺς δυναμένους εἰσελθεῖν κωλύοντες, νῦν καὶ τῷ τάφῳ σφραγῖδας ἐπιτιθέασι, διαπιστοῦντες τῇ δεσποτικῇ ἀναστάσει, καὶ τοὺς ἄλλους πιστεύειν ἀπείργοντες, οἷς τὴν ἔγερσιν συκοφαντοῦσι καὶ τὴν τῶν φυλάκων μαρτυρίαν δωροδοκίᾳ ὑπο-




νοθεύουσιν. Ὦ ταλαίπωροι στρατιῶται, οἵαν ἡττήθητε ἧτταν, οἷοι ἀνθ᾽ οἵων γεγένησθε! Ψεῦσται καὶ συκοφάνται ἀντὶ κηρύκων ἀληθῶν τῆς ἐγέρσεως! Ὅσων ἀργυρίων τὰς γλώσσας ἀπέδοσθε! Ὡς ἄμεινον ὑμῖν ἀποτετμῆσθαι ταύτας σιδήρῳ ἢ τοιᾷδε προδοσίᾳ ἐξαργυρίσασθαι!

8. Ὄντως κοινωνοὶ κλεπτῶν κατὰ τοὺς θείους χρησμοὺς οἱ τῆς Ἰερουσαλὴμ ἀπειθεῖς ἄρχοντες! Χθὲς γὰρ τῷ κλέπτῃ τοῦ γλωσσοκόμου μαθητῇ τὰ περὶ προδοσίας ἐκοινώσαντο, καὶ σήμερον τοῖς δωροδόκοις στρατιώταις τὴν ἄρνησιν τῆς ἐγέρσεως συμμερίζονται. Τὸ δ᾽ ἀργύριον τούτων ἀδόκιμον· δούλου γὰρ καὶ ψεύδους γινόμενον ὄργανον, εἰς ἀμφοτέρους ὑφείλκησεν. Εἶτα κλέπται ὄντες τοιοίδε καὶ τοιῶνδε κλεπτῶν καὶ προδοτῶν κοινωνοί, κλοπὴν ἑτέροις προστρίβονται, καὶ ταῦτα, ἐφ᾽ οἷς αὐτοὶ τοὺς ἀθλίους ἑάλωσαν φαύλοις κλέπτοντες λήμμασι, καὶ κατὰ τὸν Ἄχαρ οὐ μίαν γλῶτταν χρυσῆν ἀλλ᾽ ἐμψύχους πολλὰς ὑφαιρούμενοι. Ἀλλ᾽ ἐμφράττει σοι τὸ στόμα λαλοῦν ἄδικα τάφος ἠσφαλισμένος παρὰ σοῦ, ὦ σὺ τάφε κεκονιαμένε, μᾶλλον δὲ ἀνεῳγμένε καὶ πολλῆς βλασφημίας καὶ δυσωδίας ἐξερευγόμενε. Ἐσφραγισμένος δὲ λίθος ἀνεπιβούλευτον ἐπισφραγίζει τὴν ἔγερσιν, ἥ τε στρατιωτικὴ φυλακὴ τὴν συκοφαντίαν οὐκ ἐῶσά σοι τῆς κλοπῆς εὐέφοδον γενναίως τὴν διαβολικὴν ἀποκρούεται, Θεοῦ κἀνταῦθα τοὺς σοφοὺς δρασσομένου ἐν τῇ πανουργίᾳ αὐτῶν



καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν τοὺς ἁμαρτωλοὺς συλλαμβάνοντος, ἵνα ὁ ζωῆς θησαυρὸς ἀποδειχθῇ διὰ πάντων ἀσύλητος. Ὁ γὰρ ἑστηκὼς τοῦ τοίχου, ὅ ἐστι τοῦ προσλήμματος, οὐ μόνον προκύπτει διὰ τῶν θυρίδων τῶν φωταγωγῶν τοῦ πνεύματος τῶν προφητῶν, ἀλλ' ἐκκύπτει καὶ διὰ τῶν δικτύων τῶν ἰουδαϊκῶν πανάγρων, δι' ὧν τὸν ἀνάλωτον ἐπειρῶντο θηρεύειν, ζῶντα δὲ καὶ θανάτου γευσάμενον. Ἀλλὰ ταυτὶ μὲν ἐν ἑαυτῷ προγράφων Μωσῆς, πατάσσει τὴν πέτραν τῇ ῥάβδῳ δίς, ἡ δὲ πέτρα κατὰ τὸν μακάριον Παῦλον ἦν ὁ Χριστός. Οὐ γὰρ ἐφάπαξ καὶ χθὲς πλήττουσιν ἀνελόντες, ἀλλὰ καὶ σήμερον σπεύδοντες ἐπικρύπτειν τὴν ἀνάστασιν, ὅπως ἐπιλησθείη ἀπὸ καρδίας ὡσεὶ νεκρὸς ὁ ἀρχηγὸς τῆς ζωῆς. Καὶ καινὸν οὐδὲν εἰ πάλιν ἰουδαϊκὰ συμβούλια κατὰ Χριστοῦ καὶ πάλιν ἐθνικὰ φρυάγματα. Ἡμεῖς δὲ αὖθις τὸν λόγον εἰς ἀρχὴν οἰκείαν ἐκκορυφώσωμεν ἀπὸ τῶν Γραφικῶν θησαυρῶν καινὰ καὶ παλαιὰ κατὰ τὸν μαθητευθέντα ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν γραμματέα ἐκφέροντες καὶ εἰς ἕνα τοῦ μυστηρίου συνυφαίνοντες κόσμον ἑόρτιον.

9. «Ἐφύτευσέ, φησι, Κύριος ὁ Θεὸς παράδεισον κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασε..» Ταῦτα μὲν φυσιολογεῖ Μωσῆς, ὁ δὲ τὰ θεολογικὰ βροντῶν ἱστορεῖ, ὡς «ἦν ἐν τῷ τόπῳ, ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς κῆπος καὶ ἐν τῷ κήπῳ μνημεῖον καινόν· ἐκεῖ οὖν ἔθηκαν τὸν Ἰησοῦν.» Ὀσφράνθητε τὴν ἐξ ἀμφοῖν τοῖν κήποιν ἀποπνέουσαν μυστι-

κὴν αὔραν. Ἀνέμνησεν ἡμᾶς τὸ ἐν τῷ κήπῳ καινὸν μνημεῖον καὶ ὁ παράδεισος τῆς Ἐδὲμ τῶν ἐγκεκρυμμένων αὐτοῖς συμφύτων μυστηρίων. Ἔγνωτε ὅπως ἐν οἵῳ τόπῳ τεθεὶς καταβέβληται Ἀδάμ, ἐν τοιῷδε αὖθις διὰ τοῦ Ἰησοῦ τεθέντος ἀνίσταται; Ἢ ἐγὼ τοὺς κήπους ἀνοίξω τούτους, καὶ εἰσιόντες δρεψώμεθα; Οὐκοῦν ἀνοικτέον, ἐπεὶ βούλεσθε, καὶ δρεπτέον τοῦ ξύλου τῆς ζωῆς· οὐ γὰρ δὴ κῆπον κεκλεισμένον εὑρήσομεν τὸν παράδεισον τοῦ λοιποῦ, οὔτε τι ξύλον ἐν αὐτῷ θανάσιμον γνώσεως. Ἀνοίγεται γὰρ τῷ Λόγῳ, ἐξ οὗπερ τὸ ἐν τῷ κήπῳ καινὸν μνημεῖον ἐσφράγιστο ἀσφαλισθέν· μᾶλλον δὲ καὶ μικρῷ πρότερον ἀνέῳγε τῷ λῃστῇ οὐ λῃστρικῶς προσαράξαντι, φιλίως δὲ προσιόντι καὶ διὰ τῆς θύρας, τοῦ Ἰησοῦ. Ἔθετο μὲν εἰς τὸν κατὰ ἀνατολὰς παράδεισον τὸν ἄνθρωπον ὁ Θεός, ὡς ἐν ἄλλῳ στερεώματι οὐρανοῦ φωστῆρα μέγιστον ἕτερον τῷ τῆς ἀειζωΐας ἀδύτῳ φωτὶ τοὺς οὐρανῷ τεθειμένους ἀστέρας ὑπερλάμποντα. Βασκάνου δὲ σκότους ἐπιπροσθήσαντος, ἐκ τῆς ἀνατολῆς, οἴμοι! τῆς ἀθανασίας ἐπὶ δυσμὰς θνητότητος ἔδραμεν. Ὅθεν καὶ σκότος ἀποκρυφὴν αὐτοῦ κατὰ τὸ δειλινὸν ἔθετο, καὶ εἰς ᾅδου καταδὺς ζόφον ἔμεινεν αὐτοῦ πως αἰώνιος κάτοχος· Νῦν δὲ ἀλλ' ὁ τῆς δικαιοσύνης Ἥλιος ὁ ἐπιβεβηκὼς ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολὰς ἀπ' ἄκρας ἀνατολῆς, τῆς οἰκείας Θεότητος, ἠγαλλιάσατο δραμεῖν ἕως τῶν περὶ τὸν πρωτόπλαστον ἄκρων δυσμῶν, ὡς καὶ Δαυΐδ, « ὁδοποιήσατε, λέγει, τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ. » Καὶ παρέσχετο αὖθις ἀνατεῖλαι δευτέραν



ἀνατολήν, ἐξ ἀναστάσεως νεκρῶν Ἀδαμιαῖος γενόμενος ἀνήρ, « ἀνατολὴ ὄνομα αὐτῷ, κατὰ τὸν Ζαχαρίαν, καὶ ὑποκάτωθεν αὐτοῦ, τουτ' ἔστιν ἐκ τάφου, ἀνατέλλει. » Εὐλογητὸς ὁ Θεός, ὁ δεύτερος Ἀδάμ, ὁ οὐράνιος ἀνήρ, ὁ ὢν καὶ ὀνομαζόμενος ἀνατολή, ὁ καὶ πάλαι μὲν ἐν τῷ παραδείσῳ κατὰ τὸ δειλινὸν κρυπτόμενον ἐπισκεψάμενος τὸν Ἀδάμ, καὶ κατὰ τὸ αὐτὸ δειλινὸν ὑπὲρ αὐτοῦ θεὶς τὴν ψυχήν, καὶ τὸ ἐν τῷ κήπῳ μνημεῖον ὑποδύς, ὅπως ἐκ γῆς ἀνασχὼν ἐκεῖνος, εἰς ἣν καταδὺς ἀπῆλθεν, ἐπανέλθοι πάλιν οὐκέτι δυσόμενος. Ἀνακεφαλαιώσασθαι γὰρ ἐν αὐτῷ Χριστὸς τὰ κατὰ τὸν Ἀδὰμ εὐδόκησεν ἅπαντα. Ἐντεῦθεν πλεκτὸν ἐξ ἀκανθῶν ἀμφέθετο στέφανον, ἀναλύων τὴν κεντρώδη κατάραν αὐτόρριζον, καὶ γυμνοῦται διὰ τὴν γύμνωσιν καὶ διὰ τὴν ἐκ τῆς γυμνώσεως αἰσχύνην ἐμπτύεται καὶ ῥαπίζεται, καὶ διὰ τὴν τοῦ ξύλου πτῶσιν ἐπὶ ξύλου αἴρεται, καὶ ὄξος καὶ χολὴν προσίεται τῆς ἐνηδόνου γεύσεως ἀντιφάρμακα, καὶ διὰ τὸν ὄφιν ὡς χαλκοῦς ὄφις ὑψοῦται, καὶ τοὺς δακνομένους παρ' ἐκείνου, σώζει πρὸς αὐτὸν ἀτενίζοντας, καὶ νύττεται πλευρὰν διὰ τὴν πρώτην πλευράν, καὶ αἷμα καὶ ὕδωρ ἐκδίδωσι κρουνοὺς ἀκηράτους καὶ τὰ ῥυέντα ἐκ τῆς θανασίμου πλευρᾶς ἀποκλύζοντας καὶ λόγχη ῥομφαίαν ἀμβλύνει στορίζουσα τὴν στρεφομένην κύκλῳ τῆς Ἐδὲμ ἐπερειδομένη τῇ δεσποτικῇ πλευρᾷ, καὶ θάπτεται ἄπνους ὁ ζῶν Κύριος, ἵνα πάλιν ἐμφυσήσῃ νεκρωθέντι τῷ Ἀδὰμ πνοὴν ζωῆς, καὶ τριήμερος ἐγείρεται καὶ συνεγείρει τὴν ἀνθρωπότητα.



10. Καὶ τί ἂν καταλέγοιμι πάντα τοῖς βουλομένοις περιαθρεῖν τὰ τοιαῦτα εἰς προὖπτον ἐκκείμενα, ἅπαξ τοῦ λόγου τὴν τῆς Ἐδὲμ ἀναπετάσαντος εἴσοδον; Οὐκοῦν μεταβάντες ἐκεῖθεν, καὶ εἰς ἐκείνας παρακύψωμεν τὰς Γραφάς, ὅσας διήνοιγεν ὁ Σωτὴρ οὐ μόνον τοῖς περὶ τὸν Κλεόπα καὶ μετὰ τὴν ἀνάστασιν, ἀλλὰ καὶ πρὸ τοῦ πάθους καὶ πρὸς Ἰουδαίους διαλεγόμενος, «Ἀβραάμ, λέγων, ὁ Πατὴρ ὑμῶν ἠγαλλιάσατο ἰδεῖν τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε καὶ ἐχάρη.» Πῶς εἶδεν Ἀβραάμ, καὶ πότε, καὶ τίνα δεσποτικὴν εἶδεν ἡμέραν; Ἡμέραν μὲν εἶδε τὴν τοῦ θανάτου, οὕτω τῆς Γραφῆς τὴν τελευτὴν καλούσης· «προβλέπει γάρ φησιν, ὅτι ἥξει ἡ ἡμέρα αὐτῶν·» εἶδε δὲ συμβολικῶς, καὶ ὅτε τὸν υἱὸν ἀνενεγκεῖν εἰς ὁλοκάρπωσιν προσετέτακτο. Οὐκ ἔξω δὲ καὶ τὰ σύμβολα παρεξετάσασθαι πρὸς τὴν ἀλήθειαν. Υἱὸς ἐκεῖ μονογενὴς ἀγαπητὸς ὁ Ἰσαάκ, γέλως, τοῦτ᾽ ἔστι χαρά, μεταγλωττιζόμενος· ἐνταῦθα Ἰησοῦς Υἱὸς Θεοῦ μονογενὴς καὶ οὗτος ἀγαπητὸς καὶ χαρμονὴ παγκόσμιος, οὗ καὶ γεννηθέντος τοῖς ποιμέσιν «Ἰδού, φησιν ἄγγελος, εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ, ὅτι ἐτέχθη ὑμῖν Σωτήρ, ὅς ἐστι Χριστὸς Κύριος.» Οὐκ ἐφείσατο ὁ Ἀβραὰμ τοῦ ἀγαπητοῦ υἱοῦ, διὰ τὸν Θεόν, ἀλλ᾽ οὐδὲ Θεὸς ἐφείσατο τοῦ ἰδίου Υἱοῦ δι᾽ ἡμᾶς. Ἰσαὰκ εἰς θυσίαν ἀγόμενος τὰ ξύλα τῆς ὁλοκαυτώσεως ἐπὶ τῶν ὤμων ἐβά-



σταζε, καὶ Χριστὸς βαστάζων τὸν σταυρὸν αὐτοῦ ἐπὶ σφαγὴν εἵλκετο. Ἐκεῖ ἀφεθέντος τοῦ Ἰσαὰκ ἀνηνέχθη κριός, ὧδε ὡς ἀμνὸς τεθυμένος σαρκὶ Θεότητι διέμεινεν ἄθυτος. Οὕτως Ἀβραὰμ ἠγαλλιάσατο ἰδεῖν τὴν ἡμέραν Κυρίου, καὶ εἶδε τυπικῶς καὶ ἐχάρη. Καὶ πῶς ἡμεῖς βλέποντες ἐναργέστερον, οὐκ ἀγαλλιασόμεθα καὶ χαιρήσομεν καὶ μακαρίσομεν ἡμᾶς αὐτοὺς ὁρῶντας καὶ ἀκούοντας, ὅσα πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν καὶ ἀκοῦσαι, καὶ οὐκ εἶδον, οὔτ᾽ ἤκουσαν; Πάλιν· « εἰ ἐπιστεύετε, λέγει, Μωϋσῇ, ἐπιτεύσετε ἂν ἐμοί, περὶ ἐμοῦ γὰρ ἐκεῖνος ἔγραψε. » Κάλυμμα γὰρ τῇ ἀναγνώσει τῆς παλαιᾶς Διαθήκης ἐπίκειται ἡ ἐπιπόλαιος ἐκδοχή, ἣν οὐχ οἷοί τέ εἰσι διασχεῖν Ἰουδαῖοι τὴν ὑπολάμπουσαν δόξαν Χριστοῦ διοπτεῦσαί τε καὶ πιστεῦσαι, ὥσπερ οἷς δέδοται γνῶναι τὰ Κυριακὰ μυστήρια καὶ βλέπειν ἀνακεκαλυμμένον τὸ Μωσέως πρόσωπον δεδοξασμένον, οἷς γράφει τὰ περὶ Χριστοῦ, καὶ φαινόμενον Ἰουδαίοις ἀπρόσιτον. Καὶ ἵνα μὴ λέγω χειρῶν σταυρικῶν ἔκτασιν καὶ χαλκοῦ ὄφεως ὕψωσιν καὶ σφαγὴν ἀμνοῦ καὶ χρίσιν αἵματος οὐ παρὰ θύραν φερομένην τοῦ πάθους Χριστοῦ, δι᾽ ὧν καταχρίει φλιὰν καὶ σταθμοὺς καὶ τἆλλα, ὅσα μὴ ὑπὸ καλύμματι Μωσαϊκῷ πάνυ τι παχυλῷ συσκιάζονται, νομοθετεῖ που δύο προσφέρειν ὀρνίθια, καὶ τὸ μὲν σφάττειν, τὸ δὲ ἀποστέλλειν ζῶν, ἔτι δὲ χιμάρους, ἕνα μὲν θυόμενον, ἕτερον δὲ ζῶντα πεμπόμενον, ἵνα τὸ ἡμέτερον σαφῶς ὑπο-

γράψη σφάγιον θνῆσκον σαρκὶ καὶ ζῶν τῇ Θεότητι, ὡς καὶ Σαμουήλ. Τύπος δὲ ἄρα τῶν δαιμονώντων Ἰουδαίων Σαοὺλ τὸν ἐκ σπέρματος Δαυΐδ διωκόντων. Πατάσσει μὲν κατὰ Δαυΐδ ἐν δόρατι, ἀλλ' ἐκκλίναντος τοῦ Δαυΐδ, τῷ τοίχῳ τὸ βέλος συνήρμοσε· Χριστοῦ γὰρ ἡ μὲν θεία φύσις ἐκκλίνει τὸ πάθος, τὸ δ' ἀνθρώπινον θνήσκει βληθέν, ὅπερ καὶ τοῖχον ἐν ᾄσμασι Σολομὼν ὠνόμασεν· « Ἰδοὺ οὗτος ἕστηκεν ὀπίσω τοῦ τοίχου·» τῷ προσλήμματι γάρ, ὅσα καὶ τοίχῳ, ἐπικρυπτόμενος ὁ Θεὸς Λόγος, διὰ τῶν θεοσημειῶν προὔφαινεν ἑαυτὸν τοῖς μὴ παράπαν διὰ φθόνον τυφλώττουσι.

11. Πλὴν μὴ ταῖς τυπικαῖς θεολογίαις τοῦ Ἐμμανουὴλ ὁ Νεστοριάζων ἐπιφυόμενος ἄλλον τὸν παθόντα καὶ ἕτερον τὸν ζῶντα Θεὸν Λόγον φανταζέσθω κατὰ τοὺς μεθύοντας καὶ ὡς δύο τὸν ἕνα παραβλέποντας. Εἰ γὰρ καὶ ὡς ἀμνὸς θυόμενος καὶ ὑπὲρ ἁμαρτιῶν ἐκπεμπόμενος δυσὶν ἐτυποῦτο χιμάροις καὶ δυσὶν ὄρνισιν, ἀλλ' οὐκ εἰς δύο υἱοὺς διαιρεῖται ὁ Θεάνθρωπος· μία ὑπόστασις, εἰ καὶ ἐκ δυοῖν σύγκειται φύσεων. Διὰ ταῦτα θύεται μὲν κατὰ σάρκα, ἀπαθὴς δὲ μένει κατὰ τὴν Θεότητα, καὶ θανατοῦται μὲν σαρκί, ζωοποιεῖται δὲ πνεύματι ὁ αὐτὸς εἷς Υἱός, ὁ Θεάνθρωπος, ὅπερ καὶ τοῖς τύποις ὑπεσημαίνετο. Εἰ γὰρ καὶ τῶν δυοῖν ὀρνιθίων τὸ μὲν ἐσφάττετο, τὸ δὲ ζῶν ἀπεστέλλετο, ἀλλ' εἰς τὸ αἷμα τοῦ ἐσφαγμένου τὸ ζῶν ὀρνίθιον ἐβαπτίζετο. « Λήψονται, γάρ φησιν ἐν τῷ Λευϊτικῷ, δύο ὀρνίθια ζῶντα καθαρὰ καὶ ξύλον κέδρινον καὶ κεκλωσμένον κόκκινον καὶ ὕσσωπον, καὶ προστάξει ὁ ἱερεὺς καὶ σφάξουσι τὸ ὀρνίθιον τὸ



ἕν, καὶ τὸ ὀρνίθιον τὸ ζῶν λήψεται αὐτό, καὶ τὸ ξύλον τὸ κέδρινον καὶ τὸ κλωστὸν κόκκινον καὶ τὴν ὕσσωπον καὶ βάψει αὐτὰ καὶ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ αἷμα τοῦ ὀρνιθίου τοῦ σφαγέντος, καὶ ἀποστελεῖ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ πεδίον.» Ζωὴ γὰρ ὢν ὁ Λόγος, τῆς ἰδίας σαρκὸς οἰκειοῦται τὸν θάνατον, ᾗ καθ' ὑπόστασιν ἥνωται, ὡς καὶ τὸ κεκλωσμένον κόκκινον τὴν πρὸς τὴν σάρκα συμπλοκὴν τούτου δηλοῖ. Ταῦτ' ἄρα καὶ ἐκ τοῦ νύγματος τῆς πλευρᾶς οὐ μόνον αἷμα ὡς ἀνθρώπου, ἀλλὰ καὶ ὕδωρ ὡς ὑπὲρ ἄνθρωπον ἔρρευσεν. Οὐκουν κοινὸν ἡγητέον τὸ αἷμα τῆς Διαθήκης, ἐν ᾧ ἁγιαζόμενοι θεούμεθα, καὶ οὗ τὴν ὁμολογίαν περιλαλοῦμεν οἱ τῆς Ἐκκλησίας υἱοί, καὶ διὰ τῆς μεθέξεως τῶν μυστικῶν καταγγέλλομεν, οὗ ἕνεκα καὶ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων λέγει· «Σπαρτίον κόκκινον χείλη σου, νύμφη.» Τῆς γὰρ Ἐκκλησίας τὰ χείλη τὴν διὰ τοῦ αἵματος τοῦ Υἱοῦ σωτηρίαν κηρύττει, καὶ ἐπ' αὐτῷ ποιεῖσθαι κελεύει τὴν ὁμολογίαν τῆς πίστεως, βαπτίζεσθαι τε τελειουμένους αἵματι Χριστοῦ τοῦ αἰωνίου, καθὼς γέγραπται, ἧς εἰκὼν καὶ Ῥαὰβ διὰ σπαρτίου σωζομένη κοκκίνου, ὥς γε τῆς Ῥαὰβ ὁ μετὰ τὸν Φαρὲς ἐκ τῆς Θάμαρ προελθὼν παρὰ τῇ χειρὶ δεδεμένος κόκκινον. Ἀλλ' οὐδὲν τούτων συνίησιν ὁ μωρὸς λαὸς καὶ ἀκάρδιος· ὀφθαλμοὶ γὰρ αὐτοῖς καὶ οὐ βλέπουσιν, ὦτα αὐτοῖς καὶ οὐκ ἀκούουσιν· «Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης



ἐσταύρωσαν, » οὐδ᾽ ἂν περιέσχον τὸν ποιμένα τὸν μέγαν ταῦροι πίονες, οἱ τῆς παροιστρώσης ἀγέλης ἡγούμενοι, οὐδὲ κύνες πολλοὶ φυλακτικοὶ καὶ τεθαμμένον περιεκύκλωσαν, ὡς κλίνην ἀτεχνῶς Σολομῶντος κυκλουμένην παρὰ τῶν ἐγκαυχωμένων κακίᾳ δυνατῶν τὸν ζωηφόρον δείκνυσθαι τάφον, καὶ κῆπον κεκλεισμένον τὸ ξύλον τῆς ζωῆς περιέχοντα, καὶ πηγὴν ὄντως ἐσφραγισμένην ζωῆς, ναὶ μέντοι καὶ κιβωτὸν ἑτέραν σεμνοτέραν τῆς νομικῆς πολλῷ, οὐ νόμου κρύπτουσαν πλάκας καὶ ῥάβδον καὶ μάννα, τὰ παλαιὰ ταῦτα δὴ σαπρά, τὸν δὲ νόμου δοτῆρα καὶ ῥάβδον δυνάμεως καὶ ζωῆς ἄρτον ἐξ οὐρανοῦ καταβαίνοντα, καὶ ᾅδου παμφάγοις ὀδοῦσιν ἄβρωτον. Κιβωτοῦ δὲ τοιαύτης τοῦ ζωηφόρου τάφου θεωρουμένου, ἑπομένως καὶ τὸν ἐπικείμενον λίθον ὡς τὸ ἐπίθεμα ἐκείνης ἕτερον καινότερον κληθήσεται ἱλαστήριον. Ὡς γὰρ ἐκεῖνο δύο Σεραφὶμ συνεκάλυπτον, οὕτω καὶ τοῦτον περιεῖπον ἄγγελοι, κυλίοντες ἀπὸ τῆς θύρας καὶ καθήμενοι ἐπάνω αὐτοῦ, καὶ εἷς μὲν πρὸς τῇ κεφαλῇ, εἷς δὲ πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ φαινόμενοι.

12. Ἔρρει τοίνυν τὰ νομικά, φροῦδα τὰ παλαιά, οἱ τύποι παροίχονται, ἐκ ποδῶν αἱ σκιαὶ τῇ ἀληθείᾳ μεθίστανται. Τί τοῦ λοιποῦ φιλονεικεῖς ἀπερίτμητε; Σκιᾷ τῶν ἐπουρανίων λατρεύεις καὶ ὑποδείγματι. Τί περιέρχῃ καθαιρομένου ναοῦ; Διέρρωγέ σοι τὸ καταπέτασμα, ἐκπεπόμπευταί



σοι τὸ ἄδυτον, ὁ δ' ἀρχιερεὺς τὰ ἱμάτια αὐτοῦ διαρρήξας, προφητεύει τῆς κατ' αὐτὸν ἱερωσύνης τὴν γύμνωσιν· «μετατιθεμένης δὲ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται.» Οὐκοῦν ἡ νομοφύλαξ κιβωτὸς αὐτῷ νόμῳ εὐρωτιῶντι, ἀραχνιῶσά που παραβέβυσται. Ἔσβεσται λυχνία, κατέσκαπται βωμός, ἀνατέτραπται τράπεζα, ἡ βλαστήσασα ῥάβδος ἀπέρρευσεν, ἡ μαννοφόρος στάμνος ἐπώζεσε, τῆς χάριτος τὰς ἀκτῖνας μὴ φέρουσα. Μὴ γοῦν εἰσέτι τῆς κνίσσης ἐξέχου καὶ τοῦ καπνοῦ, ἀλλὰ μετάθες τὰ νομικά, ἐπὶ τὴν πνευματικὴν θυσίαν ἀνάβηθι. Εἰ φιλοτοιοῦτος ὢν θυσίαν ποθεῖς καὶ ναόν, ἰδοὺ ναὸς ἀχειροποίητος, ναὸς λελυμένος αὐθημερινὸν καὶ τριήμερος ἐγειρόμενος καὶ μένων αἰώνιος. Χριστὸς ναὸς καὶ Θεός· Χριστὸς ἀρχιευρεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ, καὶ τοὺς οὐρανοὺς διαβεβηκώς, ἐν δεξιᾷ τοῦ θρόνου ἐν μεγαλωσύνη καθήμενος· Χριστὸς ἱερεῖον ἄμωμον καὶ παντὸς κόσμου καθάρσιον. Δεῦρο πρὸς βραχὺ τῶν ἡμετέρων ἁγίων εἴσω παράκυψον. Εἰ γὰρ καὶ παρ' ἡμῖν ἐπίπαστρον πρὸ τῆς σκηνῆς καὶ τῶν ἐνδοτέρων ἁγίων δεύτερον καταπέτασμα, ἀλλὰ καὶ ἀμφότερα Χριστὸς ἀνεπέτασε, καὶ ἴδωμεν πρῶτα μὲν τῆς πρώτης καὶ κοσμικῆς σκηνῆς τὸ ἐπίπαστρον ἐπαρθέν, οὐρανοὺς λέγω σχιζομένους ἀνεῳγότας, ὅτε τὸ Πνεῦμα τοῦ Θεοῦ κατέβαινεν ἐπ' αὐτὸν καὶ οἱ ἄγγελοι ἀνέβαινον καὶ κατέβαινον ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου· χθὲς δὲ τῆς δευτέρας καὶ ἐπουρανίου τὸ καταπέτασμα, τὸ δεσποτικὸν σῶμα,



ταφέν, λόγχῃ διαιρεθέν, ἡνίκα τὸ αἷμα καὶ τὸ ὕδωρ ἐξεφάνη τῶν τοῦ θεανθρώπου ἀδύτων τὰ ἅγια. Τοιγαροῦν ὁ πέπλος ὁ Βαβυλώνιος ἄνωθεν ἕως κάτω διερρωγώς, καὶ οὐχ οἷός τε ὢν τοῦ λοιποῦ σεμνόν τι συγκαλύπτειν ἅγιον. Διὰ δὲ τῶν οὕτως ἀναπεπετασμένων παρὰ Χριστοῦ εἴσιθι χαίρων εἰς τὰ ἄδυτα « τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος, » ἔνθα καὶ ἱλαστηρίῳ περιτεύξῃ τῷ Δεσποτικῷ σώματι, ἐπιπωματίζοντι τὴν τοῦ Λόγου θεότητα, πάντα γὰρ ἡμῖν ἐστι τοῦτο καὶ ναὸς καὶ σκηνὴ καὶ καταπέτασμα καὶ θῦμα καὶ κιβωτὸς καὶ λυχνία καὶ ἱλαστήριον, καὶ οὐκέτι ζητήσεις φοινίσσεσθαι ταύρων καὶ τράγων αἵματι, οὔτε σποδὸν δαμάλεως ῥαντίζεσθαι σωφρονῶν, τῷ αἵματι δὲ καθαίρεσθαι καὶ τελειοῦσθαι τοῦ ἀμώμου καὶ ἀσπίλου ἀμνοῦ, τοῦ Χριστοῦ, Εἰ γὰρ καὶ μήπω τοῦ Λόγου σωματωθέντος « θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι, » πολλῷ μᾶλλον τανῦν ἀθέλητός ἐστι τῷ Θεῷ πᾶσα θυσία νομική, ὅτε τὸ πνευματικὸν ὑπὲρ ἡμῶν πάσχα, ἐτύθη Χριστός.

13. Ἀλλ' οὗτοι μέν, εἰ μὴ βούλονται τῷ τῆς ἀληθείας Ἡλίῳ προσδραμεῖν, ἐπιχασκόντων τοῖς τύποις καὶ ταῖς σκιαῖς. Ἡμῖν δέ, ὦ κλῆρος Χριστοῦ περιούσιος καὶ τοῦ τιμίου αἵματος ὤνιος, καὶ νῦν μὲν ἑορταστέον πνευματικῶς τε καὶ μυστικῶς, οἳς ἠξιώθημεν τῶν ἀποκεκρυμμένων πρὸ τῶν αἰώνων, εἰς ἃ καὶ ἄγγελοι κατὰ τὸν μέγαν Πέτρον ἐπιθυ-

μοῦσι παρακύψαι, καὶ δι' ὧν ταῖς ἀρχαῖς ἐγνωρίσθη καὶ ταῖς ἐξουσίαις τοῖς ἐπουρανίοις διὰ τῆς Ἐκκλησίας, ὡς ὁ θεῖος Παῦλός φησιν, ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. Πεποίκιλται γὰρ ὄντως ἡ περὶ ἡμᾶς τοῦ μυστηρίου σοφία, οὐ μόνον διὰ τοῦ ἐνανθρωπίζεσθαι Θεὸν καὶ γίνεσθαι τὸν ὄντα καὶ τὸν ἄκτιστον κτίζεσθαι καὶ τὸν ἀόρατον ὁρᾶσθαι καὶ τὸν ἄπειρον περιγράφεσθαι, ἀλλὰ καὶ διὰ τοῦ πραγματεύσασθαι τἀναντία διὰ τῶν ἐναντίων, δόξαν δι' ἀτιμίας, εὐλογίαν διὰ κατάρας, ἀπάθειαν διὰ παθημάτων, δι' ἀσθενείας δύναμιν, διὰ θανάτου ζωήν, διὰ πτώσεως ἔγερσιν, ὑπερύψωσιν διὰ ταπεινώσεως, τἄλλα ὅσα ἀποκεκάλυπται, οἷς δέδοται καταλαβεῖν τί τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος, ὅ ἐστι τὸ κατὰ τὴν σάρκωσιν καὶ τὸν σταυρὸν μυστήριον. Τὸ μὲν γὰρ τὸν οὐράνιον σαρκωθῆναι ὕψος ἂν εἴη καὶ βάθος· τοῦτο γὰρ καὶ Ἠσαΐας δώσειν τὸν Θεὸν προφητεύει, ὅτε παρὰ Θεοῦ σημεῖον εἰς βάθος ἢ εἰς ὕψος ὤκνησεν Ἄχαζ αἰτήσασθαι. Μῆκος δὲ καὶ πλάτος τὸ μὴ μόνον ἀποθανεῖν, ἀλλὰ καὶ διὰ σταυροῦ καὶ μετὰ λῃστῶν καὶ πολυειδῶν ὕβρεων καὶ τῶν ἄλλων, οἷς, ὅσα καὶ διαστάσεσιν ἀπείροις, ἐκπλατύνεται καὶ μηκύνεται τὸ μέγα τῆς περὶ ἡμᾶς οἰκονομίας τοῦ Θεοῦ μυστήριον. Καταγγελτέον δὲ μᾶλλον ἀεὶ τὸν ἀοίδιμον τοῦ Σωτῆρος θάνατον ἐνδελεχῶς καὶ οὐκ ἀξίως τῶν μυστικῶν μετέχουσιν. « Ὁσάκις γὰρ ἄν, φησιν, ἐσθίητε τὸν ἄρτον καὶ τὸ ποτήριον πίνετε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις ἂν ἔλθῃ. » Ἅμα δὲ πανηγυριστέον ἀεὶ καὶ τὴν ἔγερσιν ἐγηγερμένοις ἐκ τῆς φθορᾶς τῶν νεκρῶν ἔργων,



παρρησίᾳ θριαμβεύσας ἐν τῷ σταυρῷ. Ἀλλὰ διὰ τῶν παθῶν, οἷς αἱ πονηραὶ συμπεφύκασί πως δυνάμεις, αὖθις αὐτὰς ὁ ῥαθυμῶν μεταμπίσχεται, «καὶ γίνεται τὰ ἔσχατα τοῦ τοιούτου ἀνθρώπου χείρονα τῶν πρώτων.» Ὅπερ παθεῖν φυλαττόμενοι τὴν διὰ τοῦ βαπτίσματος νέκρωσιν τῶν παθῶν συντηρῶμεν, καθ' ὅσον οἷόν τε. Εἰ δὲ τὸ ἐν ἡμῖν ἐμπαθὲς ἅτε φιλυπόστροφον πάλιν ἀναζῇ καὶ πάλιν πονηρὰς κηλῖδας προστρίβεται, πάλιν ἡμεῖς τῷ τῆς μετανοίας λουτρῷ καθαιρώμεθα ταύτας, πρὶν ἂν εἰς ἀνέκπλυτον ἡμῖν ἐκτακήσωνται.

15. Ἐξείργασται ἡ ὀθόνη, οὐ ποικίλη τις, οἶμαι, καὶ καινή, ὑφαντὴ δὲ ἀλλ' ἐκ τῶν ἄνωθεν μυριομερῶν Γραφῶν, ὡς εἴθε καὶ Χριστῷ προσδεκτή. Ὅπως δὲ καὶ πέρας κατάλληλον ὡς ἄλλο παρηρτημένον κράσπεδον ἐπιθήσωμεν, «Κύριε ὁ Θεός μου δοξάσω σε καὶ ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν ἀληθινήν.» «Κατέπιε γὰρ ὁ θάνατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλες ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου.» Ἐπάταξας θανάτῳ περιπεσόντας ἐν τῷ Ἀδάμ· ἐμότωσας καὶ ὑγίασας καὶ μετὰ δύο ἡμέρας, τῷ γὰρ μώλωπί σου ἡμεῖς ἰάθημεν, ἐν δὲ τῇ τρίτῃ ἡμέρᾳ ἀνέστημεν καὶ ἐζωώθημεν ἐναντίον σου. Οὐκ ἀπηξίωσας ὁ ἀπαθὴς Θεὸς γενέσθαι παθητὸς ἄνθρωπος καὶ θανάτου νόμοις ὑποπεσεῖν ὁ ἀθάνατος. Γέγονας ὁ ὢν ἀεὶ Θεοῦ Υἱὸς παρθένου Υἱός, καὶ Θεῷ εἰσεποιήθημεν ἄνθρωποι. Πέπονθας, καὶ οἱ πολυπαθεῖς ἀπαθεῖς γεγόναμεν.

Ἐγεύσω θανάτου, καὶ θνητοὶ ζωῆς ἐμφορούμεθα. Ἀνέστης, καὶ συνανέστημεν. Ἀνακεχώρηκας εἰς σεαυτόν, καὶ ἡ χαμαὶ ἕρπουσα φύσις ἐν τοῖς ὑψηλοῖς ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας ἐκ δεξιῶν τῷ Θεῷ συνεκάθησε. Καὶ τί ἀνταποδώσωμέν σοι, Κύριε, περὶ πάντων, ὧν ἀνταπέδωκας ἡμίν ; Ἢ τίς λαλήσει τὰς δυναστείας σου, Κύριε, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις σου ; Εἴη εὐλογητὸν τὸ ζωοποιὸν ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.



### ΧΡΗΣΙΣ
### ΤΗΣ
# ΑΓΙΑΣ ΓΡΑΦΗΣ

## Α'. ΛΟΓΟΣ ΜΙΧΑΗΛ ΧΩΝΙΑΤΟΥ.


| *Γένεσις.* | σελ. ςίχ. |
|---|---|
| 2, 7—3,24. | 20, 10. |
| 2,8. | 18,19.19,13. |
| 3, 8. | 20, 4. |
| 3, 8—20. | 4, 26. |
| 4, 10. | 10, 19. |
| 9, 20—22. | 11, 14. |
| 9, 26. | 12, 5. |
| 17,17.18.18,12. | 21,14. |
| 22, 1. 2. | 21, 11. |
| 22, 3—13. | 21, 19. |
| 27, 27. | 4, 3. |
| 37, 24. | 12, 16. |
| 38, 28—30. | 24, 16. |
| 39, 7—13. | 13, 24. |
| 49, 9. | 9, 4. |
| 49, 11. | 11, 8. |
| 49, 12. | 11, 5. |

| *Ἔξοδος.* | σελ. στίχ. |
|---|---|
| 2, 3—6. | 10, 12. |
| 12, 1 κ. ἑ. | 22, 17. |
| 17, 6. | 18, 8. |
| 17, 8 κ. ἑ. | 22, 16. |
| 25, 16—20. | 25, 12. |
| 34, 29—35. | 22, 16. |

| *Λευϊτικόν.* | |
|---|---|
| 14, 4-7. | 22,21.23,22. |
| 16, 7-10. | 22, 21. |

| *Ἀριθμοί.* | |
|---|---|
| 20, 10. | 18, 8. |
| 21, 6-9. | 20, 16. |
| 21, 9. | 22, 17. |

| *Δευτερονόμιον.* | |
|---|---|
| Κεφ. 12. | 3, 2. |
| 32, 6. | 7, 21. |

| *Ἰησοῦς Ναυῆ.* | |
|---|---|
| 2,18.6,25. | 24,17. |
| 7,21. | 17,15. |

| *Α' Βασιλειῶν.* | |
|---|---|
| 19,9.10. | 23,2. |

| *Ἰώβ.* | |
|---|---|
| 5,13. | 17,23. |
| 38,17. | 6,5. |

| Ψαλμοί. | σελ. στίχ. |
|---|---|
| 2,2. | 8,2.10,5. |
| 2,9. | 7,7. |
| 15,10. | 12,9. |
| 17,12. | 19,19. |
| 18,6. | 2,4.19,23. |
| 21,13. | 25,1 |
| 21,17. | 23,3. |
| 21,17.18 | 10,21. |
| 29,10. | 29,20 |
| 30,13. | 18,12. |
| 36,13. | 21,10. |
| 39,7. | 27,14. |
| 40,9. | 12,8. |
| 43,24 | 12,1. |
| 44,2. | 9,9. |
| 44,3. | 11,25. |
| 44,9. | 14,16. |
| 62,12. | 17,17. |
| 67,5. | 19,25. |
| 67,7 | 9,1. |
| 67,19. | 15,21. |
| 67,34. | 19,21. |
| 68,22. | 10,22. |
| 71,6. | 14,8. |
| 77,65.66 | 12,1. |
| 79,2. | 8,4. |
| 86,5. | 10,11. |
| 87,6. | 13,24. |
| 87,7. | 10,22. |
| 94,10. | 8,13. |

| | σελ. στίχ. |
|---|---|
| 105,2. | 31,6. |
| 106,10.14 | 4,19. |
| 106,16 | 5,15. |
| 109,2. | 25,9. |
| 115,3. | 31,4. |
| 117,22. | 2,21. |
| **Ἄσμα ᾀσμάτων.** | |
| 1,2. | 15,6. |
| 2,9. | 18,3.5,23,6. |
| 3,7. | 25,3. |
| 4,3. | 24,13. |
| 4,12. | 19,7.25,5. |
| 6, 1-3 Ὠσηέ. | 30, 17. |
| 6, 2. 3. | 12, 13. |
| 6, 3. | 14, 13. |
| **Ἀμώς.** | |
| 3, 8. | 9, 8. |
| **Ναούμ.** | |
| 2, 2. | 8, 21. |
| **Ἀββακούμ.** | |
| 3,18 | 6,1. |
| **Ζαχαρίας.** | |
| 6, 12. | 20, 2. |
| 9, 11. | 9, 2. |
| **Μαλαχίας.** | |
| 3, 12. | 9, 18. |
| 4, 2. | 4, 14. |
| **Ἡσαΐας.** | |
| 1, 23. | 17, 6. 10. |
| 7, 10-14. | 28,13. |

| Ψαλμοί. | σελ. στίχ. |
|---|---|
| 2,2. | 8,2.10,5. |
| 2,9. | 7,7. |
| 15,10. | 12,9. |
| 17,12. | 19,19. |
| 18,6. | 2,4.19,23. |
| 21,13, | 25,1 |
| 21,17. | 23,3. |
| 21,17.18 | 10,21. |
| 29,10. | 29,20 |
| 30,13. | 18,12. |
| 36,13. | 21,10. |
| 39,7. | 27,14. |
| 40,9. | 12,8. |
| 43,24 | 12,1. |
| 44,2. | 9,9. |
| 44,3. | 11,25. |
| 44,9. | 14,16. |
| 62,12. | 17,17. |
| 67,5. | 19,25. |
| 67,7 | 9,1. |
| 67,19. | 15,21. |
| 67,34. | 19,21. |
| 68,22. | 10,22. |
| 71,6. | 14,8. |
| 77,65.66 | 12,1. |
| 79,2. | 8,4. |
| 86,5. | 10,11. |
| 87,6. | 13,24. |
| 87,7. | 10,22. |
| 94,10. | 8,13. |

| | σελ. στίχ. |
|---|---|
| 105,2. | 31,6. |
| 106,10.14 | 4,19. |
| 106,16 | 5,15. |
| 109,2. | 25,9. |
| 115,3. | 31,4. |
| 117,22. | 2,21. |
| *Ἄσμα ᾀσμάτων.* | |
| 1,2. | 15,6. |
| 2,9. | 18,3.5,23,6. |
| 3,7. | 25,3. |
| 4,3. | 24,13. |
| 4,12. | 19,7.25,5. |
| 6,1-3 *Ὠσηέ.* | 30, 17. |
| 6, 2. 3. | 12, 13. |
| 6, 3. | 14, 13. |
| *Ἀμώς.* | |
| 3, 8. | 9, 8. |
| *Ναούμ.* | |
| 2, 2. | 8, 21. |
| *Ἀββακούμ.* | |
| 3,18 | 6,1. |
| *Ζαχαρίας.* | |
| 6, 12. | 20, 2. |
| 9, 11. | 9, 2. |
| *Μαλαχίας.* | |
| 3, 12. | 9, 18. |
| 4, 2. | 4, 14. |
| *Ἡσαΐας.* | |
| 1, 23. | 17, 6. 10. |
| 7, 10-14. | 28,13. |

| | σελ. στίχ. |
|---|---|
| *Εὐαγγέλ. κατὰ Μάρκον.* | |
| 12, 14. 17. | 13, 5. |
| 14, 3. | 4, 6. |
| 15, 43. | 12, 3. |
| *Εὐαγγέλ. κατὰ Λουκᾶν.* | |
| 2, 10. 11. | 21, 17. |
| 2, 34. | 2, 20. |
| 11, 52. | 16, 20. |
| 16, 31. | 7, 16. |
| 21, 6. | 10, 3. |
| 23, 43. | 19, 11. |
| 23, 44. 45. | 6, 18. |
| 24, 13-46. | 21, 4. |
| *Εὐαγγέλ. κατὰ Ἰωάννην.* | |
| 1, 4. | 2, 8. 8, 5. |
| 1, 5. | 1, 1. |
| 1, 52. | 26, 20. |
| 5, 46. | 22, 8. |
| 6, 35. 41. | 25, 9. |
| 8, 12. | 8, 5. |
| 8, 44. | 8, 1. |
| 8, 56. | 21, 6. 22, 4. |
| 9, 5. | 1, 3. |
| 10, 11. | 8, 7. |
| 12, 3. | 4, 6. 14, 20. |
| 12, 6. | 17, 17. |
| 12, 10. 11. | 7, 18. |
| 14, 6. | 8, 5. |
| 14, 31. | 5, 13. |
| 16, 21 κ. ἑ. | 9, 10. |

| | σελ. στίχ. |
|---|---|
| 18, 11. | 11. 13. |
| 19, 16-37. | 20, 17. |
| 19, 17. | 21, 19. |
| 19, 34. | 24, 7. 27, 1. |
| 19, 38-40. | 3, 22. |
| 19, 40. 41. | 18, 22. |
| 20, 1 καὶ ἑ. | 15, 1. |
| 20, 6. 7. | 14, 4. |
| 20, 12. | 25, 12. |
| 20, 19, | 14, 14. |
| 20, 22. | 8, 21. |
| 27, 63. | 9, 10. |
| *Πράξεις.* | |
| 3, 15. | 2, 14. 18, 12. |
| 5, 39. | 3, 5. |
| 7, 51. | 2, 19. 6, 3. |
| 10, 43. | 8, 13. |
| *Ἐπιςολὴ πρὸς Ῥωμαίους.* | |
| 2, 29. | 2, 20. |
| 5, 14. | 29, 7. |
| 5, 18. | 5, 11. |
| 6, 3-10. | 3, 10. |
| 6, 5. | 29, 1. |
| 6, 9-12. | 29, 7. |
| 7, 14. | 29, 17. |
| 8, 32. | 21, 19. |
| *Α' πρὸς Κορινθίους.* | |
| 2, 8. | 24, 22. |
| 3, 19. | 17, 23. |

| | σελ. στίχ. |
|---|---|
| 5, 7. | 27, 16. |
| 6, 20. 7, 23. | 29, 15. |
| 10, 4. | 18, 9. |
| 11, 26-29. | 28, 22. |
| 15, 20. | 16, 3. |

*Β' πρὸς Κορινθίους.*

| | |
|---|---|
| 2, 15. 16. | 14, 24. |
| 3, 14. | 22, 10. |

*Πρὸς Ἐφεσίους.*

| | |
|---|---|
| 1, 10. | 20, 9. |
| 1, 20. 21. | 31, 3. |
| 2, 13. | 24, 16. |
| 3, 10. | 28, 1. |
| 3, 18. | 28, 10. |
| 4, 8 καὶ ἑ. | 15, 21. |
| 4, 9. | 5, 8. |
| 4, 10. | 2, 5. |

*Πρὸς Φιλιππησίους.*

| | |
|---|---|
| 1, 10. | 20, 9. |
| 2, 6-8. | 16, 3. |
| 2, 8-11. | 5, 19. |

*Πρὸς Κολοσσαεῖς.*

| | |
|---|---|
| 1, 14. | 24, 16. |
| 1, 18. | 16, 13. |
| 1, 26. | 27, 22. |
| 2, 15. | 29, 22. |

*Β' πρὸς Τιμόθεον.*

| | |
|---|---|
| 3, 13. | 6, 12. |

*Πρὸς Ἑβραίους.*

| | σελ. στίχ. |
|---|---|
| 2, 9. | 3, 8. |
| 3, 9. | 27, 22. |
| 4, 14. | 26, 12. |
| 5, 6. 10. | 26, 12. |
| 7, 12. | 26, 2. |
| 8, 1. | 26, 12. |
| 8, 2. | 27, 5. |
| 8, 5. | 2, 6. 25, 20. |
| 9, 13. | 27, 10. |
| 9, 14. | 24, 16. |
| 10, 20. | 6, 9. |
| 10, 29. | 24, 9. |
| 13, 20. | 25, 1. |

*Ἐπιστολὴ Ἰακώβου.*

| | |
|---|---|
| 1, 17. | 2, 5. |

*Α' Πέτρου.*

| | |
|---|---|
| 1, 12. | 27, 23. |
| 1, 19. | 27, 12. |
| 1, 21. | 29, 7. |
| 2, 6. | 9, 14. |
| 2, 6. 7. | 2, 21. |
| 2, 22. | 8, 14. |
| 3, 18. | 23, 1. 18. |
| 4, 6. | 5, 22. |

*Ἀποκάλυψις.*

| | |
|---|---|
| 1, 5. | 24, 16. |